# 2 Corinthians

# ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Β[1]

## [Opening considerations]

### *[Greeting]*

**1**.1 Παυλος, αποστολος Ιησου Χριστου[2] δια θεληματος Θεου, και Τιμοθεος ὁ αδελφος, τη
εκκλησια του Θεου τη ουση εν Κορινθω, συν τοις ἁγιοις πασιν τοις ουσιν εν ὁλη τη
Αχαια:[3] 2 Χαρις ὑμιν και ειρηνη απο Θεου Πατρος ἡμων και Κυριου Ιησου Χριστου.

### *[Praise for deliverance]*

3 Ευλογητος ὁ Θεος και Πατηρ του Κυριου ἡμων Ιησου Χριστου, ὁ Πατηρ των
οικτιρμων και Θεος πασης παρακλησεως, 4 ὁ παρακαλων ἡμας επι[4] παση τη θλιψει ἡμων,
εις το δυνασθαι ἡμας παρακαλειν τους εν παση θλιψει, δια της παρακλησεως ἧς παρακα-
λουμεθα αυτοι ὑπο του Θεου. 5 Ὁτι καθως περισσευει τα παθηματα του Χριστου εις ἡμας,
οὑτως δια του[5] Χριστου περισσευει[6] και ἡ παρακλησις ἡμων. 6 Ειτε δε θλιβομεθα, ὑπερ
της ὑμων παρακλησεως και σωτηριας, της ενεργουμενης εν ὑπομονη των αυτων[7] παθηματων
ὧν και ἡμεις πασχομεν 7 (και, ἡ ελπις ἡμων βεβαια ὑπερ ὑμων)· ειτε παρακαλουμεθα, ὑπερ
της ὑμων παρακλησεως και σωτηριας,[8] ειδοτες ὁτι ὡσπερ[9] κοινωνοι εστε των παθηματων,
οὑτως και της παρακλησεως.

8 Ου γαρ θελομεν ὑμας αγνοειν, αδελφοι, ὑπερ της θλιψεως ἡμων της γενομενης
ἡμιν[10] εν τη Ασια: ὁτι καθ' ὑπερβολην εβαρηθημεν, ὑπερ δυναμιν,[11] ὡστε εξαπορηθηναι
ἡμας[12] και του ζην. 9 Αλλα[13] αυτοι εν ἑαυτοις το αποκριμα του θανατου εσχηκαμεν, ἱνα
μη πεποιθοτες ωμεν εφ' ἑαυτοις, αλλ' επι τω Θεω τω εγειροντι[14] τους νεκρους· 10 ὃς εκ
τηλικουτου θανατου ερρυσατο ἡμας, και ῥυεται·[15] εις ὃν ηλπικαμεν ὁτι[16] και ετι ῥυσεται,
11 συνυπουργουντων και ὑμων ὑπερ ἡμων τη δεησει· ἱνα εκ πολλων προσωπων το εις ἡμας
χαρισμα δια πολλων ευχαριστηθη, ὑπερ ὑμων.[17]

### *[A change of plans]*

12 Ἡ γαρ καυχησις ἡμων αὑτη εστιν: το μαρτυριον της συνειδησεως ἡμων, ὁτι εν
ἁπλοτητι και εἰλικρινεια[18] Θεου,[19] ουκ εν σοφια σαρκικη αλλ' εν χαριτι Θεου, ανεστρα-
φημεν εν τω κοσμω, περισσοτερως δε προς ὑμας. 13 Ου γαρ αλλα γραφομεν ὑμιν αλλ' ἡ ἃ

---

[1] Both the Text and the apparatus are the responsibility of Wilbur N. Pickering, ThM PhD, ©. I venture to affirm to the reader that all original wording of 2 Corinthians is preserved in this edition, if not in the Text, at least in the apparatus. "Diminish not a word" Jeremiah 26:2 (see Deut. 4:2 and Luke 4:4, "every word" [as in 99.6% of the MSS]). The last note at the end of this book gives explanation about the apparatus.

[2] ιησου χριστου **f**$^{35}$ A [97%] RP,HF,OC,TR,CP || ~ 21 P$^{46}$ℵB [3%] NU

[3] ["In all Achaia"—Paul obviously intended that his letter have a wide distribution.]

[4] επι *rell* || εν C [20%] OC

[5] του **f**$^{35}$ P$^{46}$ℵA,B,C [95%] RP,HF,CP,NU || --- [5%] OC,TR

[6] περισσευει *rell* || περισσευη [1%] CP

[7] αυτων *rell* || αυτου [30%] || αυτω [1%] || --- [1%]

[8] και σωτηριας της ενεργουμενης εν υπομονη των αυτων παθηματων ων και ημεις πασχομεν και η ελπις ημων βεβαια υπερ υμων ειτε παρακαλουμεθα υπερ της υμων παρακλησεως και σωτηριας **f**$^{35}$ (90.6%) RP,HF,OC,CP || ~1-13,21-28,14-20 (1%) TR || 3-28 B (1.2%) || ~1-2,21-26,3-20 ℵA,C (4.7%) NU || 1-20 (0.5%) || 3-20 (0.8%) || ~1-2,21-26,3-9 P$^{46}$ (0.3%) || four further variations (0.8%)

[9] ωσπερ **f**$^{35}$ [96%] RP,HF,OC,TR,CP || ως ℵA,B,C [3.5%] NU || οι [0.5%]

[10] ημιν **f**$^{35}$ (90.6%) RP,HF,OC,TR,CP || --- ℵA,B,C (8.8%) NU || υμιν (0.7%)

[11] εβαρηθημεν υπερ δυναμιν **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP || ~231 ℵA,B,C [5%] NU

[12] ημας *rell* || υμας [1%] CP

[13] αλλα *rell* || αλλ ℵA,C [10%] CP

[14] εγειροντι **f**$^{35}$ (ℵ)A,B,C [88%] RP,HF,OC,TR,CP,NU || εγειραντι P$^{46}$ [11.5%] || εγιροντα [0.5%]

[15] και ρυεται **f**$^{35}$ [96%] RP,HF,OC,TR,CP || 1 ρυσεται P$^{46}$ℵB,C [3%] NU || --- A [1%]

[16] οτι **f**$^{35}$ ℵA,C [93%] RP,HF,OC,TR,CP[NU] || --- P$^{46}$B [7%]

[17] υμων **f**$^{35}$ P$^{46}$B [75%] RP,HF,CP || ημων ℵA,C [25%] OC,TR,NU

[18] εἰλικρινεια **f**$^{35}$ [25%] || ειλικρινεια [60%] RP,HF,OC,TR,CP || ειλικρινια [5%] || 1 του P$^{46}$B [7%] NU || ειλικρινια του ℵA,C [3%]

[19] θεου **f**$^{35}$ ℵA,C [97%] RP,HF,OC,TR,CP || 1 και P$^{46}$ B [3%] [NU]

αναγινωσκετε ἣ και επιγινωσκετε· ελπιζω δε ὁτι και[1] ἑως τελους επιγνωσεσθε 14 (καθως
και επεγνωτε ἡμας απο μερους) ὁτι καυχημα ὑμων εσμεν, καθαπερ και ὑμεις ἡμων, εν τη
ἡμερα του Κυριου[2] Ιησου.[3]

15 Και ταυτη τη πεποιθησει εβουλομην προς ὑμας ελθειν το προτερον[4] (ἱνα δευτε-
ραν χαριν εχητε),[5] 16 και δι' ὑμων διελθειν[6] εις Μακεδονιαν, και παλιν απο Μακεδονιας
ελθειν προς ὑμας, και ὑφ'[7] ὑμων προπεμφθηναι εις την Ιουδαιαν. 17 Τουτο ουν βουλευο-
μενος,[8] μητι αρα τη ελαφρια εχρησαμην? Ἢ ἃ βουλευομαι, κατα σαρκα βουλευομαι, ἱνα ᾐ
παρ' εμοι το 'ναι, ναι' και το 'ου, ου'? 18 Πιστος δε ὁ Θεος ὁτι ὁ λογος ἡμων ὁ προς ὑμας
ουκ εγενετο[9] 'ναι' και 'ου', 19 ὁ γαρ του Θεου[10] Υἱος, Ιησους Χριστος, ὁ εν ὑμιν δι' ἡμων
κηρυχθεις—δι' εμου και Σιλουανου και Τιμοθεου—ουκ εγενετο 'ναι' και 'ου'. Αλλα, 'ναι'
εν αυτω γεγονεν, 20 ὁσαι γαρ επαγγελιαι[11] Θεου, εν αυτω το[12] 'ναι'· και εν αυτω[13] το[14]
'αμην', τω Θεω προς δοξαν δι'[15] ἡμων. 21 Ὁ δε βεβαιων ἡμας συν ὑμιν[16] εις Χριστον, και
χρισας ἡμας, Θεος, 22 ὁ[17] και σφραγισαμενος ἡμας και δους τον αρραβωνα[18] του Πνευματος
εν ταις καρδιαις ἡμων.

[The change explained]

23 Εγω δε, μαρτυρα τον Θεον επικαλουμαι, επι την εμην ψυχην, ὁτι φειδομενος
ὑμων ουκετι ηλθον εις Κορινθον. 24 (Ουχ ὁτι κυριευομεν ὑμων της πιστεως, αλλα συνερ-
γοι εσμεν της χαρας ὑμων, τη γαρ πιστει ἑστηκατε.) 2.1 Εκρινα δε[19] εμαυτω τουτο, το μη
παλιν εν λυπη προς ὑμας ελθειν.[20] 2 Ει γαρ εγω λυπω ὑμας, και τίς εστιν[21] ὁ ευφραινων
με, ει μη ὁ λυπουμενος εξ εμου? 3 Και εγραψα ὑμιν[22] τουτο αυτο ἱνα μη, ελθων, λυπην[23]
εχω[24] αφ' ὡν εδει με χαιρειν, πεποιθως επι παντας ὑμας ὁτι ἡ εμη χαρα παντων ὑμων
εστιν.

*[About the first letter]*

4 Εκ γαρ πολλης θλιψεως και συνοχης καρδιας εγραψα ὑμιν, δια πολλων δακρυων,
ουχ ἱνα λυπηθητε, αλλα την αγαπην ἱνα γνωτε ἣν εχω περισσοτερως εις ὑμας. 5 Ει δε τις
λελυπηκεν, ουκ εμε λελυπηκεν, αλλα[25] απο μερους (ἱνα μη επιβαρω) παντας ὑμας. 6 Ἱκανον

---

[1] και **f**$^{35}$ [96%] RP,HF,OC,TR,CP || --- P$^{46}$ℵA,B,C [4%] NU
[2] κυριου **f**$^{35}$ P$^{46v}$A,C [92%] RP,HF,OC,TR || 1 ημων ℵB [8%] CP[NU]
[3] ιησου *rell* || 1 χριστου [15%] CP
[4] προς υμας ελθειν το προτερον **f**$^{35}$ (21.6%) || 1235 (2.3%) OC,TR || 123 ℵ (0.3%) || ~ 31245 (61.1%) RP,HF,CP || ~ 3125 (4%) | ~ 45123 (1.5%) || ~ 5123 A,B,C (7%) NU || ~ 5312 (1.7%) || two further variations (0.3%) (The only real question here is the position of ελθειν, before or after προς υμας—note that all the early MSS agree with **f**$^{35}$ about that.)
[5] εχητε **f**$^{35}$ A [97%] RP,HF,OC,TR,CP || σχητε ℵB,C [3%] NU
[6] διελθειν **f**$^{35}$ (ℵ)B,C [85%] RP,HF,OC,TR,NU || ελθειν [13%] CP || απελθειν A [2%]
[7] υφ *rell* || αφ P$^{46}$ [12%]
[8] βουλευομενος **f**$^{35}$ [80%] RP,HF,TR,CP || βουλομενος P$^{46}$ℵA,B,C [20%] OC,NU
[9] εγενετο **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP || εστιν P$^{46}$ℵA,B,C [3%] NU
[10] γαρ του θεου **f**$^{35}$ [90%] RP,HF,OC,TR,CP || ~ 231 ℵA,B,C [4%] NU || ~ 213 P$^{46}$ || 13 [0.5%] || long omission [5%]
[11] επαγγελιαι **f**$^{35}$ P$^{46}$ℵB,C [80%] RP,HF,OC,TR,NU || 1 του A [20%] CP
[12] το *rell* || τω [10%] || --- P$^{46}$ [0.5%]
[13] και εν αυτω **f**$^{35}$ (90.8%) RP,HF,OC,TR,CP || και δι αυτου P$^{46}$ (1.3%) || διο και δι αυτου ℵA,B,C (6.7%) NU || three conflations (0.8%) || three other variants (0.5%)
[14] το *rell* || τω [10%] || --- ℵ [0.5%]
[15] δι *rell* || --- C [10%]
[16] ημας συν υμιν *rell* || υμας 2 ημιν C [5%] CP || 12 ημιν [4%]
[17] ο *rell* || --- ℵA,C [10%]
[18] αρραβωνα *rell* || αραβωνα ℵA [10%] || αρραβονα [3%]
[19] δε **f**$^{35}$ ℵA,C [98%] RP,HF,OC,TR,CP || γαρ P$^{46}$B [2%] NU
[20] εν λυπη προς υμας ελθειν **f**$^{35}$ ℵA,B,C [95%] RP,HF,CP,NU || ~ 51234 [3.5%] TR || ~ 12534 P$^{46v}$ [1.5%] OC
[21] εστιν **f**$^{35}$ [99%] RP,HF,OC,TR,CP || --- ℵA,B,C [1%] NU
[22] υμιν **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP || --- P$^{46}$ℵA,B,C [3%] NU
[23] λυπην **f**$^{35}$ P$^{46}$ℵA,B,C (90.2%) RP,HF,OC,TR,NU || 1 επι 1 (5.5%) || 1 επι λυπη (3.8%) CP? || λψπη (0.5%)
[24] εχω **f**$^{35}$ C [95%] RP,HF,OC,TR || σχω P$^{46}$ℵA,B [5%] CP,NU
[25] αλλα *rell* || αλλ [15%] TR

τω τοιουτω ἡ επιτιμια αὑτη ἡ ὑπο των πλειονων, 7 ὡστε, τουναντιον, μαλλον ὑμας
χαρισασθαι και παρακαλεσαι, μη πως τη περισσοτερα λυπη καταποθη ὁ τοιουτος. 8 Διο
παρακαλω ὑμας κυρωσαι εις αυτον αγαπην.

9 Εις τουτο γαρ και εγραψα: ἱνα γνω την δοκιμην ὑμων, ει εις παντα ὑπηκοοι
εστε. 10 Ὡ δε τι χαριζεσθε, και εγω·[1] και γαρ εγω, ει τι κεχαρισμαι ὡ,[2] κεχαρισμαι δι'
ὑμας εν προσωπω Χριστου, 11 ἱνα μη πλεονεκτηθωμεν ὑπο του Σατανα· ου γαρ αυτου τα
νοηματα αγνοουμεν.

[An afterthought]

12 Ελθων δε εις την Τρωαδα εις το ευαγγελιον του Χριστου, και θυρας μοι
ανεωγμενης εν Κυριω, 13 ουκ εσχηκα ανεσιν τω πνευματι μου, τω[3] μη εὑρειν με Τιτον
τον αδελφον μου· αλλα αποταξαμενος αυτοις εξηλθον εις Μακεδονιαν.

## [We have a glorious ministry]

*[A fragrance of life]*

**2**.14 Τω δε Θεω χαρις τω παντοτε θριαμβευοντι ἡμας εν τω Χριστω, και την οσμην της
γνωσεως αυτου φανερουντι δι' ἡμων εν παντι τοπω. 15 Ὁτι Χριστου ευωδια εσμεν τω
Θεω, εν τοις σωζομενοις και εν τοις απολλυμενοις—16 οἱς μεν οσμη[4] θανατου εις θανα-
τον, οἱς δε οσμη ζωης εις ζωην—και προς ταυτα τίς ἱκανος? 17 Ου γαρ εσμεν ὡς οἱ
λοιποι,[5] καπηλευοντες τον λογον του Θεου· αλλ' ὡς εξ εἱλικρινειας,[6] αλλ' ὡς εκ Θεου
κατενωπιον του[7] Θεου, εν Χριστω λαλουμεν.

[An aside]

(**3**.1 Αρχομεθα παλιν ἑαυτους συνιστανειν? Ει[8] μη χρηζομεν,[9] ὡς τινες, συστα-
τικων επιστολων προς ὑμας ἠ εξ ὑμων συστατικων?[10] 2 Ἡ επιστολη ἡμων ὑμεις εστε,
εγγεγραμμενη εν ταις καρδιαις ἡμων, γινωσκομενη και αναγινωσκομενη ὑπο παντων
ανθρωπων· 3 φανερουμενοι ὁτι εστε επιστολη Χριστου, διακονηθεισα ὑφ' ἡμων, εγγε-
γραμμενη ου μελανι αλλα Πνευματι Θεου ζωντος, ουκ εν πλαξιν λιθιναις αλλ'[11] εν πλαξιν
καρδιαις[12] σαρκιναις.[13])

*[Competent ministers]*

4 Πεποιθησιν δε τοιαυτην εχομεν δια του Χριστου προς τον Θεον· 5 ουχ ὁτι ἱκανοι
εσμεν αφ' ἑαυτων λογισασθαι τι[14] ὡς εξ ἑαυτων, αλλ' ἡ ἱκανοτης ἡμων εκ του Θεου—6 ὃς
και ἱκανωσεν ἡμας διακονους καινης διαθηκης· ου γραμματος, αλλα Πνευματος, το γαρ
γραμμα αποκτενει,[15] το δε Πνευμα ζωοποιει.

*[A greater glory]*

---

[1] και εγω **f**$^{35}$ C [95%] RP,HF,OC,TR,CP || καγω P$^{46}$ℵA,B [5%] NU

[2] ει τι κεχαρισμαι ω **f**$^{35}$ (83.7%) RP,HF,OC,TR,CP || 123 (9.8%) [this variant also omits the following κεχαρισμαι] || ~ 4312 (1.5%) || ~ ο 312 P$^{46}$ℵB (1.5%) NU || ~ ο και χορισμαι 12 A,C (1.2%) || 12 και χαρισμαι 4 (0.8%) || three other variants (1.5%)

[3] τω *rell* || το [11%] || του ℵ [1%]

[4] οσμη **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP || 1 εκ P$^{46}$ℵA,B,C [3%] NU (Twice.)

[5] λοιποι **f**$^{35}$ P$^{46}$ (53.5%) RP,HF,OC,CP || πολλοι ℵA,B,C (46.2%) TR,NU || conflation (0.3%)

[6] εἱλικρινειας **f**$^{35}$ [25%] || ειλικρινειας (B) [58%] RP,HF,OC,TR,CP,NU || ειλικρινιας C [15.5%] || ιλικρινιας (P$^{46}$)ℵA [1.5%]

[7] κατενωπιον του **f**$^{35}$ (89.6%) RP,HF,OC,TR,CP || 1 (4.7%) || κατεναντι P$^{46}$ℵA,B,C (3.4%) NU || κατεναντι 2 (2%) || conflation (0.3%)

[8] ει **f**$^{35}$ A [80%] RP,HF,OC,TR,CP || η P$^{46}$ℵB,C [20%] NU

[9] χρηζομεν *rell* || χριζομεν [8%] || χρειζομεν [3%] || χριζωμεν [2%] || two other variants [1%]

[10] συστατικων **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP || --- P$^{46}$ℵA,B,C [5%] NU

[11] αλλ *rell* || αλλα OC,some TRs

[12] καρδιαις **f**$^{35}$ ℵA,B,C [80%] RP,HF,OC,CP,NU || καρδιας [20%] TR

[13] σαρκιναις *rell* || σαρκικαις CP

[14] ικανοι εσμεν αφ εαυτων λογισασθαι τι **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP || ~ 125634 A [1.5%] || ~ 341256 (P$^{46}$)ℵ(B)(C) [3%] NU || two other variants

[15] αποκτενει **f**$^{35}$ P$^{46}$ℵA,C [60%] RP,HF,CP || αποκτεννει [35%] OC,NU || αποκτεινει B [5%] TR

7 Ει δε ἡ διακονια του θανατου, εν γραμμασιν εντετυπωμενη εν[1] λιθοις, εγενηθη εν δοξη—ὡστε μη δυνασθαι ατενισαι τους υἱους Ισραηλ εις το προσωπον Μωυσεος[2] δια την δοξαν του προσωπου αυτου (την καταργουμενην)—8 πως ουχι μαλλον ἡ διακονια του Πνευματος εσται εν δοξη? 9 Ει γαρ ἡ[3] διακονια της κατακρισεως δοξα, πολλω μαλλον περισσευει[4] ἡ διακονια της δικαιοσυνης εν[5] δοξη! 10 Και γαρ ου[6] δεδοξασται το δεδοξασμενον εν τουτω τω μερει, εἱνεκεν[7] της ὑπερβαλλουσης δοξης—11 ει γαρ το καταργουμενον δια δοξης, πολλω μαλλον το μενον εν δοξη.

12 Εχοντες ουν τοιαυτην ελπιδα, πολλη παρρησια χρωμεθα—13 και ου καθαπερ Μωυσης,[8] ετιθει καλυμμα επι το προσωπον ἑαυτου,[9] προς το μη ατενισαι τους υἱους Ισραηλ εις το τελος του καταργουμενου. 14 Αλλ',[10] επωρωθη τα νοηματα αυτων, αχρι γαρ της σημερον[11] το αυτο καλυμμα επι τη αναγνωσει της Παλαιας Διαθηκης μενει μη ανακαλυπτομενον, ὁτι εν Χριστω καταργειται. 15 Αλλ' ἑως σημερον, ἡνικα[12] αναγινωσκεται[13] Μωσης,[14] καλυμμα επι την καρδιαν αυτων κειται. 16 Ἡνικα δ' αν[15] επιστρεψη[16] προς Κυριον, περιαιρειται το καλυμμα. 17 Ὁ δε Κυριος το Πνευμα εστιν· οὗ δε το Πνευμα Κυριου, εκει[17] ελευθερια. 18 Ἡμεις δε παντες, ανακεκαλυμμενω προσωπω την δοξαν Κυριου ατοπτριζομενοι, την αυτην εικονα μεταμορφουμεθα απο δοξης εις δοξαν, καθαπερ απο Κυριου Πνευματος.

*[But it isn't easy]*

**4**.1 Δια τουτο, εχοντες την διακονιαν ταυτην, καθως ηλεηθημεν, ουκ εκκακουμεν.[18] 2 Αλλα,[19] απειπαμεθα τα κρυπτα της αισχυνης, μη περιπατουντες εν πανουργια μηδε δολουντες τον λογον του Θεου, αλλα τη φανερωσει της αληθειας συνιστωντες[20] ἑαυτους προς πασαν συνειδησιν ανθρωπων, ενωπιον του Θεου. 3 Ει δε και εστιν κεκαλυμμενον το ευαγγελιον ἡμων, εν τοις απολλυμενοις εστιν κεκαλυμμενον, 4 εν οἷς ὁ θεος του αιωνος τουτου ετυφλωσεν τα νοηματα των απιστων, εις το μη αυγασαι αυτοις[21] τον φωτισμον του ευαγγελιου της δοξης του Χριστου, ὁς εστιν εικων του Θεου.[22]

5 Ου γαρ ἑαυτους κηρυσσομεν, αλλα Χριστον Ιησουν[23] Κυριον, ἑαυτους δε δουλους ὑμων δια Ιησουν· 6 ὁτι ὁ Θεος ὁ ειπων εκ σκοτους φως λαμψαι[24] ὃς ελαμψεν εν ταις καρδιαις ἡμων προς φωτισμον της γνωσεως της δοξης του Θεου εν προσωπω Ιησου[25] Χριστου.

---

[1] εν **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP || --- $P^{46}$ℵA,B,C [3%] NU
[2] μωυσεος **f**$^{35}$ [35%] CP || μωυσεως $P^{46}$ℵB,C [55%] RP,HF,OC,NU || μωσεως A [10%] TR
[3] η **f**$^{35}$ B [95.5%] RP,HF,OC,TR,CP || τη $P^{46}$ℵA,C [3%] NU || --- [1.5%]
[4] περισσευει **f**$^{35}$ $P^{46}$ℵA,B,C [96%] RP,HF,OC,TR,NU || περισσευσει [3%] CP || two other variants [1%]
[5] εν **f**$^{35}$ [98%] RP,HF,OC,TR,CP || --- $P^{46}$ℵA,B,C [2%] NU
[6] ου **f**$^{35}$ $P^{46}$ℵA,B,C [95%] RP,HF,CP,NU || ουδε [5%] OC,TR
[7] εινεκεν **f**$^{35}$ $P^{46}$ℵA,B [43%] CP,NU || ενεκεν C [57%] RP,HF,OC,TR
[8] μωυσης **f**$^{35}$ ℵB,C [88%] RP,HF,OC,CP,NU || μωσης A [12%] TR
[9] εαυτου **f**$^{35}$ ℵ [90%] RP,HF,OC,TR,CP || αυτου A,B,C [10%] NU
[10] αλλ *rell* || αλλα B,NU || $P^{46}$ has a long lacuna
[11] σημερον **f**$^{35}$ [90%] RP,HF,OC,TR,CP || 1 ημερας $P^{46}$ℵA,B,C [10%] NU
[12] ηνικα **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP || 1 αν ℵA,B,C [5%] NU || 1 εαν $P^{46}$
[13] αναγινωσκεται **f**$^{35}$ [88%] RP,HF,OC,TR,CP || αναγινωσκηται A,C [10%] NU || αναγεινωσκηται $P^{46}$ℵB || αναγινωσκητε [1%]
[14] μωσης **f**$^{35}$ A [40%] TR || μωυσης $P^{46}$ℵB,C [60%] RP,HF,OC,CP,NU
[15] δ αν **f**$^{35}$ B [96%] RP,HF,OC,TR,CP || δε εαν $P^{46}$ℵA [1%] NU || δε C [2%] || δε 2 [1%]
[16] επιστρεψη *rell* || επιστρεψει [18%]
[17] εκει **f**$^{35}$ [98%] RP,HF,OC,TR,CP || --- $P^{46}$ℵA,B,C [2%] NU
[18] εκκακουμεν **f**$^{35}$ C [97%] RP,HF,OC,TR,CP || εγκακουμεν ℵA,B [2%] NU || ενκακουμεν $P^{46}$ [1%]
[19] αλλα *rell* || αλλ [20%] OC,TR
[20] συνιστωντες **f**$^{35}$ [94%] RP,HF,OC,TR,CP || συνιστανοντες $P^{46}$B [2.5%] NU || συνισταντες ℵC [3%] || συνιστοντες [0.5%]
[21] αυτοις **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP || --- $P^{46}$ℵA,B,C [3%] NU
[22] θεου **f**$^{35}$ $P^{46}$ℵA,B,C [78%] RP,HF,OC,TR,NU || 1 του αορατου [22%] CP
[23] χριστον ιησουν **f**$^{35}$ B [97%] RP,HF,OC,TR,CP || ~ 21 $P^{46}$ℵA,C [3%] NU
[24] λαμψαι **f**$^{35}$ C [98.5%] RP,HF,OC,TR,CP || λαμψει $P^{46}$ℵA,B [1.5%] NU
[25] ιησου **f**$^{35}$ $P^{46}$ℵC [98.5%] RP,HF,OC,TR,CP[NU] || --- A,B [0.5%] || ~ χριστου 1 [1%]

7 Εχομεν δε τον θησαυρον τουτον εν οστρακινοις σκευεσιν, ἱνα ἡ ὑπερβολη της δυναμεως
ᾐ του Θεου και μη εξ ἡμων—8 εν παντι θλιβομενοι, αλλ’ ου στενοχωρουμενοι· απορουμενοι,
αλλ’ ουκ εξαπορουμενοι· 9 διωκομενοι, αλλ’ ουκ εγκαταλειπομενοι· καταβαλλομενοι, αλλ’
ουκ απολλυμενοι· 10 παντοτε την νεκρωσιν του Κυριου[1] Ιησου εν τω σωματι περιφεροντες,
ἱνα και ἡ ζωη του Ιησου εν τω σωματι ἡμων φανερωθη. 11 Αει γαρ ἡμεις, οἱ ζωντες, εις
θανατον παραδιδομεθα δια Ιησουν, ἱνα και ἡ ζωη του Ιησου φανερωθη εν τη θνητη σαρκι
ἡμων. 12 Ὡστε, ὁ μεν[2] θανατος εν ἡμιν ενεργειται, ἡ δε ζωη εν ὑμιν.

*[Momentary affliction, eternal glory]*

13 Εχοντες δε το αυτο πνευμα της πιστεως, κατα το γεγραμμενον, "Επιστευσα· διο
ελαλησα", και ἡμεις πιστευομεν, διο και λαλουμεν, 14 ειδοτες ὁτι ὁ εγειρας τον Κυριον
Ιησουν, και ἡμας δια[3] Ιησου εγερει[4] και παραστησει συν ὑμιν.[5] 15 Τα γαρ παντα δι’ ὑμας,
ἱνα ἡ χαρις πλεονασασα δια των πλειονων την ευχαριστιαν[6] περισσευση[7] εις την δοξαν
του Θεου.

16 Διο ουκ εκκακουμεν[8]—αλλ’ ει και ὁ εξω ἡμων ανθρωπος διαφθειρεται,[9] αλλ’ ὁ
εσωθεν[10] ανακαινουται ἡμερα και ἡμερα—17 το γαρ παραυτικα ελαφρον της θλιψεως ἡμων
καθ’ ὑπερβολην εις ὑπερβολην αιωνιον βαρος δοξης κατεργαζεται ἡμιν, 18 μη σκοπουντων
ἡμων τα βλεπομενα, αλλα τα μη βλεπομενα· τα γαρ βλεπομενα προσκαιρα, τα δε μη βλεπομενα
αιωνια.

*[We live by faith]*

**5**.1 Οιδαμεν γαρ ὁτι εαν ἡ επιγειος ἡμων οικια του σκηνους καταλυθη, οικοδομην
εκ Θεου εχομεν (οικιαν αχειροποιητον), αιωνιον εν τοις ουρανοις. 2 Και γαρ εν τουτω
στεναζομεν, το οικητηριον ἡμων το εξ ουρανου επενδυσασθαι επιποθουντες· 3 ει γε και
ενδυσαμενοι[11] ου γυμνοι εὑρεθησομεθα. 4 Και γαρ οἱ οντες εν τω σκηνει στεναζομεν βαρου-
μενοι—εφ’ ᾧ[12] ου θελομεν εκδυσασθαι, αλλ’ επενδυσασθαι· ἱνα καταποθη το θνητον ὑπο της
ζωης.

5 Ὁ δε κατεργασαμενος ἡμας εις αυτο τουτο Θεος, ὁ και[13] δους ἡμιν τον αρραβωνα
του Πνευματος. 6 Θαρρουντες ουν παντοτε, και ειδοτες ὁτι ενδημουντες εν τω σωματι
εκδημουμεν απο του Κυριου 7—δια πιστεως γαρ περιπατουμεν, ου δια ειδους—8 θαρρουμεν
δε και ευδοκουμεν μαλλον εκδημησαι εκ του σωματος και ενδημησαι προς τον Κυριον.
9 Διο και φιλοτιμουμεθα (ειτε ενδημουντες ειτε εκδημουντες) ευαρεστοι αυτω ειναι.
10 Τους γαρ παντας ἡμας φανερωθηναι δει εμπροσθεν του βηματος του Χριστου, ἱνα κομι-
σηται[14] ἑκαστος τα δια[15] του σωματος, προς ἁ επραξεν, ειτε αγαθον ειτε κακον.[16] 11 Ειδοτες
ουν τον φοβον του Κυριου, ανθρωπους πειθομεν.

*[Why Christ died]*

---

[1] κυριου $\mathbf{f}^{35}$ [95%] RP,HF,OC,TR,CP || --- $P^{46}$ℵA,B,C [5%] NU

[2] μεν $\mathbf{f}^{35}$ [96%] RP,HF,OC,TR,CP || --- $P^{46}$(ℵ)A,B,C [4%] NU

[3] δια $\mathbf{f}^{35}$ [96%] RP,HF,OC,TR,CP || συν $P^{46}$ℵB,C [4%] NU

[4] εγερει $\mathbf{f}^{35}$ $P^{46}$ℵB,C [87%] RP,HF,OC,TR,NU || εξεγερει [13%] CP

[5] υμιν *rell* || ημιν [15%]

[6] ευχαριστιαν *rell* || ευχαριστειαν [13%]

[7] περισσευση *rell* || περισσευη [9%] || περισσευσει [10%] || περισσευει [2%]

[8] εκκακουμεν $\mathbf{f}^{35}$ C [98%] RP,HF,OC,TR,CP || εγκακουμεν ($P^{46}$)ℵB [2%] NU

[9] διαφθειρεται $\mathbf{f}^{35}$ $P^{46}$ℵB(C) [78%] RP,HF,OC,TR,CP,NU || φθειρεται [22%]

[10] εσωθεν $\mathbf{f}^{35}$ [85%] RP,HF,OC,TR || εσω [10%] CP || εσω ημων $P^{46}$ℵB,C [4%] NU || 1 ημων [1%]

[11] ενδυσαμενοι $\mathbf{f}^{35}$ $P^{46}$ℵB,C [99%] RP,HF,OC,TR,CP || εκδυσαμενοι D,NU || εκλυσαμενοι [0.5%]

[12] εφ ω $\mathbf{f}^{35}$ ℵB,C [95%] RP,HF,OC,CP,NU || επειδη [5%] TR (Just for the record, $\mathbf{f}^{35}$ has ῶ [no aspiration]—since the εφ indicates that the following vowel is aspirated, they were just saving ink, avoiding the redundancy.)

[13] και $\mathbf{f}^{35}$ [97%] RP,HF,OC,TR,CP || --- $P^{46}$ℵB,C [3%] NU

[14] κομισηται *rell* || κομισητε [7%] CP || εκομισηται ℵ || κομησηται [15%]

[15] δια *rell* || ιδια $P^{46}$ CP

[16] κακον $\mathbf{f}^{35}$ $P^{46}$ B (94.2%) RP,HF,OC,TR,CP || φαυλον ℵC,048 (4.7%) NU || four other variants (1.2%)

Θεω δε πεφανερωμεθα· ελπιζω δε και εν ταις συνειδησεσιν ὑμων πεφανερωσθαι.
12 Ου γαρ[1] παλιν ἑαυτους συνιστανομεν ὑμιν, αλλα[2] αφορμην διδοντες ὑμιν καυχηματος[3]
ὑπερ ἡμων, ἱνα εχητε προς τους εν προσωπω καυχωμενους[4] και ου[5] καρδια.
13 Ειτε γαρ εξεστημεν, Θεω· ειτε σωφρονουμεν, ὑμιν. 14 Ἡ γαρ αγαπη του Χριστου
συνεχει ἡμας, κριναντας τουτο: ὁτι ει[6] εἱς ὑπερ παντων απεθανεν, αρα οἱ παντες απεθανον·
15 και ὑπερ παντων απεθανεν ἱνα οἱ ζωντες μηκετι ἑαυτοις ζωσιν, αλλα τω ὑπερ παντων[7]
αποθανοντι και εγερθεντι.

*[We are Christ's ambassadors]*

16 Ὡστε, ἡμεις απο του νυν ουδενα οιδαμεν κατα σαρκα—ει δε[8] και εγνωκαμεν κατα
σαρκα Χριστον, αλλα[9] νυν ουκετι γινωσκομεν—17 ὡστε, ει τις εν Χριστω, καινη κτισις·
τα αρχαια παρηλθεν· ιδου, γεγονεν καινα τα παντα![10] 18 Τα δε παντα εκ του Θεου του κατ-
αλλαξαντος ἡμας ἑαυτω δια Ιησου[11] Χριστου και δοντος ἡμιν την διακονιαν της καταλλαγης,
19 ὡς ὁτι Θεος ἠν εν Χριστω κοσμον καταλλασσων[12] ἑαυτω, μη λογιζομενος αυτοις τα
παραπτωματα αυτων, και θεμενος[13] ἡμιν τον λογον της καταλλαγης.
20 Ὑπερ Χριστου ουν πρεσβευομεν, ὡς του Θεου παρακαλουντος δι' ἡμων. Δεομεθα
ὑπερ Χριστου: Καταλλαγητε τω Θεω! 21 Τον γαρ[14] μη γνοντα ἁμαρτιαν, ὑπερ ἡμων ἁμαρ-
τιαν εποιησεν, ἱνα ἡμεις γενωμεθα[15] δικαιοσυνη Θεου[16] εν αυτω. 6.1 Συνεργουντες δε και[17]
παρακαλουμεν μη εις κενον την χαριν του Θεου δεξασθαι ὑμας, 2 λεγει γαρ: "Καιρω δεκτω
επηκουσα σου, και εν ἡμερα σωτηριας εβοηθησα σοι". Ιδου, νυν καιρος ευπροσδεκτος· ιδου,
νυν ἡμερα σωτηριας!

*[What it costs to be Christ's ambassadors]*

(3 μηδεμιαν εν μηδενι διδοντες προσκοπην, ἱνα μη μωμηθη ἡ διακονια· 4 αλλ' εν
παντι συνιστωντες[18] ἑαυτους ὡς Θεου διακονοι εν ὑπομονη πολλη—εν θλιψεσιν, εν αναγ-
καις, εν στενοχωριαις, 5 εν πληγαις, εν φυλακαις, εν ακαταστασιαις, εν κοποις, εν αγρυπ-
νιαις, εν νηστειαις· 6 εν ἁγνοτητι, εν γνωσει, εν μακροθυμια, εν χρηστοτητι, εν Πνευματι
Ἁγιω, εν αγαπη ανυποκριτω, 7 εν λογω αληθειας, εν δυναμει Θεου, δια των ὁπλων της
δικαιοσυνης των δεξιων και αριστερων· 8 δια δοξης και ατιμιας, δια δυσφημιας και ευφη-
μιας· ὡς πλανοι και αληθεις, 9 ὡς αγνοουμενοι και επιγινωσκομενοι, ὡς αποθνησκοντες
και ιδου ζωμεν, ὡς παιδευομενοι και μη θανατουμενοι· 10 ὡς λυπουμενοι αει δε χαιροντες,
ὡς πτωχοι πολλους δε πλουτιζοντες, ὡς μηδεν εχοντες και παντα κατεχοντες!)

[an aside]

---

[1] γαρ **f35** [97%] RP,HF,OC,TR,CP || --- P46אB,C [3%] NU
[2] αλλα *rell* || αλλ [15%] CP
[3] καυχηματος *rell* || καυχησεως CP
[4] καυχωμενους *rell* || καυχομενους [17%]
[5] ου **f35** C [95%] RP,HF,OC,TR,CP || ουκ [1%] || μη εν P46אB [4%] NU
[6] ει **f35** C [50%] RP,HF,OC,TR,CP || --- P46אB [50%] NU (OC has small print.)
[7] παντων **f35** [35%] || αυτων P46אB,C [55%] RP,HF,OC,TR,CP,NU || αυτων 1 [10%]
[8] δε **f35** [98%] RP,HF,OC,TR,CP || --- P46אB [2%] NU
[9] αλλα *rell* || 1 και CP
[10] καινα τα παντα **f35** (56.3%) RP,HF,OC,TR || ~231 (40.6%) CP || 1 P46אB,C,048 (2.3%) NU || five other readings (0.8%)
[11] ιησου **f35** [97%] RP,HF,OC,TR,CP || --- P46אB,C [3%] NU
[12] καταλλασσων *rell* || καταλασσων א [20%] || καταλασων [1%] || καταλλασσον [1%] || καταλασον [1%]
[13] θεμενος **f35** [45%] CP || 1 εν P46אB,C [55%] RP,HF,OC,TR,NU
[14] γαρ **f35** [97%] RP,HF,OC,TR,CP || --- P46אB,C [3%] NU
[15] γενωμεθα **f35** P46אB,C [85%] RP,HF,OC,CP,NU || γινωμεθα [5%] TR || γενομεθα [10%]
[16] δικαιοσυνη θεου *rell* || ~ 21 [11%]
[17] και *rell* || --- [16%]
[18] συνιστωντες **f35** [95%] RP,HF,OC,TR,CP || συνισταντες P46אC [2%] NU || συνιστανοντες B [2%] || συνιστοντες [1%]

11 Το στομα ἡμων ανεωγεν προς ὑμας, Κορινθιοι, ἡ καρδια ἡμων πεπλατυνται.
12 Ου στενοχωρεισθε εν ἡμιν, στενοχωρεισθε δε εν τοις σπλαγχνοις ὑμων. 13 Την δε αυτην
αντιμισθιαν (ὡς τεκνοις λεγω), πλατυνθητε και ὑμεις.

*[Separation is a 'must']*

14 Μη γινεσθε ἑτεροζυγουντες απιστοις· τίς γαρ μετοχη δικαιοσυνη και ανομια?
Τίς δε[1] κοινωνια φωτι προς σκοτος? 15 Τίς δε συμφωνησις Χριστω[2] προς Βελιαρ?[3] Ἡ τίς
μερις πιστω μετα απιστου? 16 Τίς δε συγκαταθεσις ναω Θεου μετα ειδωλων? Ὑμεις[4] γαρ
ναος Θεου εστε[5] ζωντος, καθως ειπεν ὁ Θεος ὁτι: "Ενοικησω εν αυτοις και εμπεριπατησω·
και εσομαι αυτων Θεος και αυτοι εσονται μοι[6] λαος." 17 Διο "Εξελθετε[7] εκ μεσου αυτων
και αφορισθητε", λεγει Κυριος, "και ακαθαρτου μη ἁπτεσθε· καγω εισδεξομαι ὑμας."
18 Και, "Εσομαι ὑμιν εις Πατερα, και ὑμεις εσεσθε[8] μοι εις υἱους και θυγατερας, λεγει
Κυριος Παντοκρατωρ." 7.1 Ταυτας ουν εχοντες τας επαγγελιας, αγαπητοι, καθαρισωμεν
ἑαυτους απο παντος μολυσμου σαρκος και πνευματος, επιτελουντες ἁγιωσυνην[9] εν φοβω
Θεου.

## [Titus, and the first letter]

### [Introduction]

**7**.2 Χωρησατε ἡμας· ουδενα ηδικησαμεν, ουδενα εφθειραμεν, ουδενα επλεονεκτησαμεν. 3 Ου
προς κατακρισιν[10] λεγω, προειρηκα γαρ ὁτι εν ταις καρδιαις ἡμων εστε, εις το συναπο-
θανειν και συζην. 4 Πολλη μοι παρρησια προς ὑμας· πολλη μοι καυχησις ὑπερ ὑμων.
Πεπληρωμαι τη παρακλησει, ὑπερπερισσευομαι τη χαρα επι παση τη θλιψει ἡμων.

*[Enter Titus]*

5 Και γαρ, ελθοντων ἡμων εις Μακεδονιαν ουδεμιαν εσχηκεν ανεσιν ἡ σαρξ ἡμων,
αλλ' εν παντι θλιβομενοι—εξωθεν μαχαι, εσωθεν φοβοι. 6 Αλλ' ὁ παρακαλων τους ταπεινους
παρεκαλεσεν ἡμας, ὁ Θεος,[11] εν τη παρουσια Τιτου· 7 ου μονον δε εν τη παρουσια αυτου,
αλλα και εν τη παρακλησει ᾗ παρεκληθη εφ' ὑμιν, αναγγελλων[12] ἡμιν την ὑμων επιποθησιν,
τον ὑμων οδυρμον, τον ὑμων ζηλον ὑπερ εμου, ὡστε με[13] μαλλον χαρηναι.

*[The effect of the first letter]*

8 Ὁτι ει και ελυπησα ὑμας εν τη επιστολη, ου μεταμελομαι (ει και μετεμελομην),
βλεπω γαρ[14] ὁτι ἡ επιστολη εκεινη, ει και προς ὡραν, ελυπησεν ὑμας. 9 Νυν χαιρω, ουχ
ὁτι ελυπηθητε, αλλ' ὁτι ελυπηθητε εις μετανοιαν. Ελυπηθητε γαρ κατα Θεον, ἱνα εν μηδενι
ζημιωθητε εξ ἡμων. 10 Ἡ γαρ κατα Θεον λυπη μετανοιαν εις σωτηριαν αμεταμελητον
κατεργαζεται,[15] ἡ δε του κοσμου λυπη θανατον κατεργαζεται.[16]

11 Ιδου γαρ αυτο τουτο, το κατα Θεον λυπηθηναι ὑμας,[17] ποσην κατειργασατο[18] ὑμιν
σπουδην—αλλα απολογιαν, αλλα αγανακτησιν, αλλα φοβον, αλλ'[19] επιποθησιν, αλλα ζηλον,

---

[1] τις δε $\mathbf{f}^{35}$ [93%] RP,HF,OC,TR,CP || ~ η 1 $P^{46}$אB,C [7%] NU
[2] χριστω $\mathbf{f}^{35}$ [98%] RP,HF,OC,TR,CP || χριστου $P^{46}$אB,C [2%] NU
[3] βελιαρ *rell* || βελιαν [15%] || βελιαλ OC,CP
[4] υμεις $\mathbf{f}^{35}$ $P^{46}$ C [96%] RP,HF,OC,TR,CP || ημεις אB [4%] NU
[5] εστε $\mathbf{f}^{35}$ $P^{46}$ C [93%] RP,HF,OC,TR,CP || εσμεν אB [4%] NU || εσται [3%]
[6] μοι $\mathbf{f}^{35}$ [98%] RP,HF,OC,TR,CP || μου $P^{46}$אB,C [2%] NU
[7] εξελθετε $\mathbf{f}^{35}$ [95%] RP,HF,TR,CP || εξελθατε $P^{46}$B,C [5%] OC,NU || εξελθαται א
[8] εσεσθε *rell* || εσεσθαι [11%]
[9] αγιωσυνην *rell* || αγιοσυνην [11%] || αγιωσυνης $P^{46}$
[10] ου προς κατακρισιν $\mathbf{f}^{35}$ [97%] RP,HF,OC,TR,CP || ~231 $P^{46}$אB,C [3%] NU
[11] ο θεος *rell* || --- CP
[12] αναγγελλων *rell* || αναγγελων [6%] CP
[13] με *rell* || --- [12%]
[14] γαρ $\mathbf{f}^{35}$ אC [99.5%] RP,HF,OC,TR,CP[NU] || --- ($P^{46}$)B [0.5%]
[15] κατεργαζεται $\mathbf{f}^{35}$ [98.5%] RP,HF,OC,TR,CP || εργαζεται $P^{46}$אB,C [1.5%] NU
[16] η δε του κοσμου λυπη θανατον κατεργαζεται *rell* || --- [14%] CP (A clear case of homoioteleuton.)
[17] υμας $\mathbf{f}^{35}$ [86%] RP,HF,OC,TR,CP || ημας [12%] || --- $P^{46}$אB,C [2%] NU
[18] κατειργασατο *rell* || 1 εν C [18%] CP
[19] αλλ $\mathbf{f}^{35}$ [27%] || αλλα $P^{46}$אA,B,C [73%] RP,HF,OC,TR,CP,NU

αλλ'[1] εκδικησιν! Εν παντι συνεστησατε ἑαυτους ἁγνους ειναι εν[2] τω πραγματι. 12 Αρα ει
και εγραψα ὑμιν, ουχ εἱνεκεν[3] του αδικησαντος, ουδε εἱνεκεν[4] του αδικηθεντος, αλλ'
εἱνεκεν[5] του φανερωθηναι την σπουδην ὑμων την ὑπερ ἡμων[6] προς ὑμας, ενωπιον του Θεου.
13 Δια τουτο παρακεκλημεθα.

*[Titus again]*

Επι τη παρακλησει ὑμων, περισσοτερως δε[7] μαλλον εχαρημεν επι τη χαρα Τιτου,
ὁτι αναπεπαυται το πνευμα αυτου απο παντων ὑμων. 14 Ὁτι ει τι αυτω ὑπερ ὑμων κεκαυ-
χημαι, ου κατησχυνθην, αλλ' ὡς παντα εν αληθεια ελαλησαμεν ὑμιν, οὑτως και ἡ καυχησις
ἡμων ἡ επι Τιτου αληθεια εγενηθη. 15 Και, τα σπλαγχνα αυτου περισσοτερως εις ὑμας
εστιν, αναμιμνησκομενου την παντων ὑμων ὑπακοην, ὡς μετα φοβου και τρομου εδεξασθε
αυτον. 16 Χαιρω ὁτι εν παντι θαρρω εν ὑμιν.

## [The collection for the church in Jerusalem]

*[The Macedonian example]*

**8**.1 Γνωριζομεν[8] δε ὑμιν, αδελφοι, την χαριν του Θεου την δεδομενην εν ταις εκκλησιαις
της Μακεδονιας, 2 ὁτι εν πολλη δοκιμη θλιψεως ἡ περισσεια της χαρας αυτων και ἡ κατα
βαθους πτωχεια αυτων επερισσευσεν εις τον πλουτον[9] της ἁπλοτητος αυτων. 3 Ὁτι κατα
δυναμιν, μαρτυρω, και ὑπερ[10] δυναμιν, αυθαιρετοι, 4 μετα πολλης παρακλησεως δεομενοι
ἡμων την χαριν και την κοινωνιαν της διακονιας της εις τους ἁγιους δεξασθαι ημας[11] 5—
και ου καθως ηλπισαμεν, αλλ' ἑαυτους εδωκαν πρωτον τω Κυριω (και ἡμιν, δια θεληματος
Θεου),

6 εις το παρακαλεσαι ἡμας Τιτον, ἱνα καθως προενηρξατο, οὑτως και επιτελεση[12]
εις ὑμας και την χαριν ταυτην. 7 Αλλ' ὡσπερ εν παντι περισσευετε—πιστει και λογω και
γνωσει και παση σπουδη και τη εξ ὑμων εν ἡμιν[13] αγαπη—ἱνα και εν ταυτη τη χαριτι
περισσευητε.

*[Christ's example]*

8 Ου κατ' επιταγην λεγω, αλλα δια της ἑτερων σπουδης και το της ὑμετερας αγαπης
γνησιον δοκιμαζων. 9 Γινωσκετε γαρ την χαριν του Κυριου ἡμων Ιησου Χριστου, ὁτι δι'
ἡμας[14] επτωχευσεν, πλουσιος ων, ἱνα ὑμεις τη εκεινου πτωχεια πλουτησητε. 10 Και γνωμην
εν τουτω διδωμι (τουτο γαρ ὑμιν συμφερει, οἱτινες ου μονον το ποιησαι αλλα και το θε-
λειν προενηρξασθε απο περυσι): 11 νυνι δε και το ποιησαι επιτελεσατε—ὁπως καθαπερ ἡ
προθυμια του θελειν, οὑτως και το επιτελεσαι—εκ του εχειν 12 (ει γαρ ἡ προθυμια προκει-
ται, καθο εαν[15] εχη[16] τις,[17] ευπροσδεκτος, ου καθο[18] ουκ εχει). 13 Ου γαρ ἱνα αλλοις ανεσις,

---

[1] αλλ **f**$^{35}$ [50%] TR || αλλα P$^{46}$אA,B,C [50%] RP,HF,OC,CP,NU
[2] εν **f**$^{35}$ [96%] RP,HF,OC,TR,CP || --- אB,C [4%] NU
[3] εινεκεν **f**$^{35}$ [65%] RP,HF,OC,TR,CP || ενεκεν אB,C [35%] NU
[4] εινεκεν **f**$^{35}$ [65%] RP,HF,OC,TR,CP || ενεκεν אB,C [35%] NU
[5] εινεκεν **f**$^{35}$ [65%] RP,HF,OC,TR || ενεκεν P$^{46}$אB,C [35%] CP,NU
[6] ημων *rell* || υμων א [14%]
[7] τη παρακλησει υμων περισσοτερως δε **f**$^{35}$ [75%] TR || 1234 [2%] || ~12534 [2%] || ~51234 [17%] RP,HF,OC,CP || ~512 ημων 4 אB(C) [3%] NU || 12 ημων 4 P$^{46}$
[8] γνωριζομεν *rell* || γνωριζω [23%] OC || γνωριζωμεν [2%]
[9] τον πλουτον **f**$^{35}$ [98%] RP,HF,OC,TR,CP || το πλουτος P$^{46}$אB,C [2%] NU
[10] υπερ **f**$^{35}$ [98%] RP,HF,OC,TR,CP || παρα אB,C [2%] NU
[11] δεξασθαι ημας **f**$^{35}$ [30%] CP,TR || --- P$^{46}$אB,C [70%] RP,HF,OC,NU
[12] επιτελεση *rell* || επιτελεσει [24%]
[13] υμων εν ημιν **f**$^{35}$ אC [90%] RP,HF,OC,TR,CP || ημων εν υμιν (P$^{46}$)B [7%] NU || 12 υμιν [1.5%] || two other variants
[14] ημας **f**$^{35}$ C [40%] || υμας P$^{46}$אB [60%] RP,HF,OC,TR,CP,NU
[15] καθὸ εαν **f**$^{35}$ B,C [30%] RP,HF,OC,TR,CP,NU || καθὸ αν א [3%] || καθ ὃ εαν [58%] || καθ ὃ αν [9%]
[16] εχη *rell* || εχει [13%]
[17] τις **f**$^{35}$ [90%] RP,HF,OC,TR,CP || --- אB,C [10%] NU
[18] καθὸ *rell* || καθ ὃ [58%] [The meaning would appear to be virtually the same.]

ὑμιν δε[1] θλιψις, 14 αλλ’ εξ ισοτητος—εν τω νυν καιρω το ὑμων περισσευμα εις το εκεινων
ὑστερημα, ἱνα και το εκεινων περισσευμα γενηται εις το ὑμων ὑστερημα—ὁπως γενηται
ισοτης· 15 καθως γεγραπται: "Ὁ[2] το πολυ ουκ επλεονασεν, και ὁ[3] το ολιγον ουκ
ηλαττονησεν."

*[When handling money, avoid criticism]*

16 Χαρις δε τω Θεω τω διδοντι[4] την αυτην σπουδην ὑπερ ὑμων εν τη καρδια Τιτου·
17 ὁτι την μεν παρακλησιν εδεξατο, σπουδαιοτερος δε ὑπαρχων, αυθαιρετος εξηλθεν προς
ὑμας. 18 Συνεπεμψαμεν δε μετ’ αυτου τον αδελφον οὗ ὁ[5] επαινος εν τω ευαγγελιω δια πα-
σων των εκκλησιων· 19 ου μονον δε—αλλα και χειροτονηθεις ὑπο των εκκλησιων συνεκδη-
μος ἡμων συν τη χαριτι ταυτη, τη διακονουμενη ὑφ’ ἡμων προς την αυτου[6] του Κυριου
δοξαν, και προθυμιαν ἡμων,[7] 20 στελλομενοι τουτο, μη τις ἡμας[8] μωμησηται εν τη ἁδροτητι
ταυτη τη διακονουμενη ὑφ’ ἡμων· 21 προνοουμενοι[9] καλα, ου μονον ενωπιον Κυριου αλλα
και ενωπιον ανθρωπων. 22 Συνεπεμψαμεν δε αυτοις τον αδελφον ἡμων ὃν εδοκιμασαμεν εν
πολλοις πολλακις σπουδαιον οντα, νυνι δε πολυ σπουδαιοτερον, πεποιθησει πολλη τη εις
ὑμας.[10] 23 Ειτε ὑπερ Τιτου, κοινωνος εμος και εις ὑμας συνεργος· ειτε αδελφοι ἡμων,
αποστολοι εκκλησιων, δοξα Χριστου. 24 Την ουν ενδειξιν της αγαπης ὑμων (και ἡμων
καυχησεως ὑπερ ὑμων) εις αυτους ενδειξασθε[11] εις[12] προσωπον των εκκλησιων.

*[A little precaution]*

**9**.1 Περι μεν γαρ της διακονιας της εις τους ἁγιους, περισσον μοι εστιν το γραφειν
ὑμιν· 2 οιδα γαρ την προθυμιαν ὑμων, ἣν ὑπερ ὑμων καυχωμαι Μακεδοσιν, ὁτι Αχαια
παρεσκευασται απο περυσι, και ὁ[13] εξ[14] ὑμων ζηλος ηρεθισεν τους πλειονας. 3 Επεμψα δε
τους αδελφους ἱνα μη το καυχημα ἡμων το ὑπερ ὑμων κενωθη εν τω μερει τουτω, ἱνα
καθως ελεγον, παρεσκευασμενοι[15] ητε 4—μη πως, εαν ελθωσιν συν εμοι Μακεδονες και
εὑρωσιν ὑμας απαρασκευαστους, καταισχυνθωμεν ἡμεις (ἱνα μη λεγωμεν[16] ὑμεις!) εν τη
ὑποστασει ταυτη της καυχησεως.[17] 5 Αναγκαιον ουν ἡγησαμην παρακαλεσαι τους αδελφους,
ἱνα προελθωσιν εις ὑμας και προκαταρτισωσιν την προκατηγγελμενην[18] ευλογιαν ὑμων,
ταυτην ἑτοιμην ειναι, οὑτως ὡς ευλογιαν και μη ὡς[19] πλεονεξιαν.

*[Kingdom economics]*

6 Τουτο δε, ὁ σπειρων φειδομενως φειδομενως και θερισει, και ὁ σπειρων επ’
ευλογιαις επ’ ευλογιαις και θερισει. 7 Ἑκαστος καθως προαιρειται[20] τη καρδια, μη εκ

---

[1] δε $f^{35}$ [98%] RP,HF,OC,TR,CP || --- ℵB,C [2%] NU
[2] ο *rell* || ω [1%] CP
[3] ο *rell* || ω [1%] CP || --- [39%]
[4] διδοντι $f^{35}$ ℵB(C)I [65%] RP,HF,OC,TR,CP || δοντι $P^{46}$ [34%] NU || διδουντι [1%]
[5] ο *rell* || --- [1%] CP
[6] αυτου $f^{35}$ ℵ [92%] RP,HF,OC,TR,CP[NU] || --- B,C [5%] || αυτην [3%] || $P^{46}$ has a long omission
[7] ημων $f^{35}$ ℵB,C [94%] RP,HF,OC,NU || υμων [6%] CP,TR || $P^{46}$ has a long omission
[8] ημας *rell* || υμας [15%]
[9] προνοουμενοι $f^{35}$ (85.1%) RP,HF,OC,TR,CP || 1 γαρ C (5.5%) || προνοουμεν γαρ $P^{46}$ℵB (8.7%) NU || προνοουμεν (0.7%)
[10] υμας *rell* || ημας [14%]
[11] ενδειξασθε $f^{35}$ C [97.5%] RP,HF,OC,TR,CP || ενδεικνυμενοι B [1%] NU || ενδειξασθαι **(**ℵ) [1.5%]
[12] εις $f^{35}$ ℵB,C [95%] RP,HF,OC,CP,NU || και 1 [5%] TR
[13] ο $f^{35}$ C [99%] RP,HF,OC,TR,CP || το $P^{46}$ℵB [1%] NU
[14] εξ $f^{35}$ [97%] RP,HF,OC,TR,CP || --- $P^{46}$ℵB,C [3%] NU
[15] παρεσκευασμενοι *rell* || παρασκευασμενοι [20%] || παρασκευασαμενοι [3%]
[16] λεγωμεν $f^{35}$ ℵB [93%] RP,HF,OC,TR,CP || λεγω $P^{46}$C [1%] NU || λεγομεν [2%] || omit whole clause [4%] [homoioteleuton]
[17] της καυχησεως $f^{35}$ (96.3%) RP,HF,OC,TR,CP || --- $P^{46}$ℵB,C (3.7%) NU
[18] προκατηγγελμενην $f^{35}$ [96%] RP,HF,OC,TR,CP || προεπηγγελμενην $P^{46}$ℵB,C [3%] NU || κατηγγελμενην [1%]
[19] ως $f^{35}$ $P^{46}$ℵB,C [95%] RP,HF,OC,CP,NU || ωσπερ [4%] TR || --- [1%]
[20] προαιρειται $f^{35}$ [95%] RP,HF,OC,TR,CP || προηρηται ℵB,C [1%] NU || προειρηται [2%] || four other variants [2%]

λυπης ἠ ἐξ αναγκης, ἱλαρον γαρ δοτην αγαπα ὁ Θεος. 8 Δυνατος[1] δε ὁ Θεος πασαν χαριν περισσευσαι εις ὑμας, ἱνα εν παντι παντοτε πασαν αυταρκειαν εχοντες περισσευητε εις παν εργον αγαθον· 9 καθως γεγραπται: "Εσκορπισεν, εδωκεν τοις πενησιν· ἡ δικαιοσυνη αυτου μενει εις τον αιωνα."

10 Ὁ δε επιχορηγων σπερμα[2] τω σπειροντι και αρτον εις βρωσιν χορηγησαι,[3] και πληθυναι[4] τον σπορον ὑμων και αυξησαι[5] τα γενηματα[6] της δικαιοσυνης ὑμων· 11 εν παντι πλουτιζομενοι εις πασαν ἁπλοτητα, ἡτις κατεργαζεται δι' ἡμων ευχαριστιαν τω Θεω. 12 Ὁτι ἡ διακονια της λειτουργιας[7] ταυτης ου μονον εστιν προσαναπληρουσα τα υστερηματα των ἁγιων, αλλα και περισσευουσα δια πολλων ευχαριστιων τω Θεω 13—δια της δοκιμης της διακονιας ταυτης, δοξαζοντες τον Θεον επι τη ὑποταγη της ὁμολογιας ὑμων εις το ευαγγελιον του Χριστου, και ἁπλοτητι της κοινωνιας εις αυτους και εις παντας—14 και αυτων δεησει ὑπερ ὑμων, επιποθουντων ὑμας δια την ὑπερβαλλουσαν χαριν του Θεου εφ' ὑμιν.

15 Χαρις δε[8] τω Θεω επι τη ανεκδιηγητω αυτου δωρεα!

## [Paul's defense of his apostolic authority]

### *[Weapons of spiritual warfare]*

**10**.1 Αυτος δε εγω, Παυλος, παρακαλω ὑμας δια της πραοτητος[9] και επιεικειας του Χριστου (ὃς κατα προσωπον μεν ταπεινος εν ὑμιν, απων δε θαρρω εις ὑμας). 2 Δεομαι δε, το μη παρων θαρρησαι τη πεποιθησει ᾗ λογιζομαι τολμησαι επι τινας τους λογιζομενους ἡμας ὡς κατα σαρκα περιπατουντας. 3 Εν σαρκι γαρ περιπατουντες, ου κατα σαρκα στρατευομεθα, 4 τα γαρ ὁπλα της στρατειας[10] ἡμων ου σαρκικα, αλλα δυνατα τω Θεω προς καθαιρεσιν οχυρωματων: 5 λογισμους καθαιρουντες και παν ὑψωμα επαιρομενον κατα της γνωσεως του Θεου· και αιχμαλωτιζοντες παν νοημα εις την ὑπακοην του Χριστου· 6 και εν ἑτοιμω εχοντες εκδικησαι πασαν παρακοην, ὁταν πληρωθη ὑμων ἡ ὑπακοη.

### *[Paul is criticized]*

7 Τα κατα προσωπον βλεπετε? Ει τις πεποιθεν ἑαυτω Χριστου ειναι, τουτο λογιζεσθω παλιν αφ'[11] ἑαυτου, ὁτι καθως αυτος Χριστου, οὑτως και ἡμεις Χριστου.[12] 8 Εαν τε[13] γαρ και[14] περισσοτερον τι καυχησωμαι[15] περι της εξουσιας ἡμων (ἧς εδωκεν ὁ Κυριος ἡμιν[16] εις οικοδομην, και ουκ εις καθαιρεσιν ὑμων), ουκ αισχυνθησομαι, 9 ἱνα[17] μη δοξω ὡς αν εκφοβειν ὑμας δια των επιστολων. 10 Ὁτι, "Αἱ μεν επιστολαι",[18] φησιν, "βαρειαι και ισχυραι, ἡ δε παρουσια[19] του σωματος ασθενης, και ὁ λογος εξουθενημενος." 11 Τουτο λογιζεσθω ὁ τοιουτος, ὁτι οἱοι εσμεν τω λογω δι' επιστολων αποντες, τοιουτοι και παροντες τω εργω.

### *[Proper limits for boasting]*

---

[1] δυνατος **f**$^{35}$ [98%] RP,HF,OC,TR,CP || δυνατει P$^{46}$ℵB,C [2%] NU
[2] σπερμα **f**$^{35}$ ℵC [99%] RP,HF,OC,TR,CP || σπορον P$^{46}$B [1%] NU
[3] χορηγησαι **f**$^{35}$ (95%) RP,HF,OC,TR,CP || χορηγησει P$^{46}$ℵB,C,048 (5%) NU
[4] πληθυναι **f**$^{35}$ (95.5%) RP,HF,OC,TR,CP || πληθυνει P$^{46}$ℵB,048 (4.5%) NU || πληθυνη C
[5] αυξησαι **f**$^{35}$ P$^{46}$ (95.8%) RP,HF,OC,TR,CP || αυξησει ℵB,C,048 (4.2%) NU
[6] γενηματα **f**$^{35}$ P$^{46}$ℵB,C [94%] RP,HF,OC,CP,NU || γεννηματα [6%] TR
[7] λειτουργιας *rell* || λειτουργειας C [2%] CP
[8] δε **f**$^{35}$ [98%] RP,HF,OC,TR,CP || --- P$^{46}$ℵB,C [2%] NU
[9] πραοτητος **f**$^{35}$ C [98%] RP,HF,OC,TR,CP || πραυτητος ℵB [2%] NU
[10] στρατειας **f**$^{35}$ P$^{46}$ [77%] RP,HF,OC,TR,CP,NU || στρατιας ℵB,C [23%]
[11] αφ **f**$^{35}$ C [93%] RP,HF,OC,TR,CP || εφ P$^{46}$ℵB [7%] NU
[12] χριστου **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP || --- P$^{46}$(ℵ)B,C [5%] NU
[13] τε **f**$^{35}$ ℵ [96%] RP,HF,OC,TR,CP[NU] || --- P$^{46}$B,C [4%]
[14] και **f**$^{35}$ [96%] RP,HF,OC,TR,CP || --- P$^{46}$ℵB,C [4%] NU
[15] καυχησωμαι *rell* || καυχησομαι [15%]
[16] ημιν **f**$^{35}$ [96%] RP,HF,OC,TR,CP || ημων [2%] || --- P$^{46}$ℵB,C [2%] NU
[17] ινα *rell* || 1 δε [7%] CP
[18] μεν επιστολαι **f**$^{35}$ [98%] RP,HF,OC,TR,CP || ~ 21 P$^{46v}$ℵB [2%] NU
[19] παρουσια *rell* || παρρησια CP

12 Ου γαρ τολμωμεν εγκριναι ἢ συγκριναι ἑαυτους τισιν των ἑαυτους συνισ-
τανοντων· αλλα[1] αυτοι, εν ἑαυτοις ἑαυτους μετρουντες και συγκρινοντες ἑαυτους ἑαυτοις,
ου συνιουσιν.[2] 13 Ἡμεις δε ουχι[3] εις τα αμετρα καυχησομεθα, αλλα κατα το μετρον του
κανονος οὗ εμερισεν ἡμιν ὁ Θεος μετρου, εφικεσθαι αχρι και ὑμων. 14 Ου γαρ ὡς μη
εφικνουμενοι εις ὑμας ὑπερεκτεινομεν ἑαυτους, αχρι γαρ και ὑμων εφθασαμεν εν τω ευαγ-
γελιω του Χριστου· 15 ουκ εις τα αμετρα καυχωμενοι εν αλλοτριοις κοποις, ελπιδα δε[4]
εχοντες, αυξανομενης της πιστεως ὑμων, εν ὑμιν μεγαλυνθηναι κατα τον κανονα ἡμων εις
περισσειαν, 16 εις τα ὑπερεκεινα[5] ὑμων ευαγγελισασθαι (ουκ εν αλλοτριω κανονι εις τα
ἑτοιμα καυχησασθαι).
17 "Ὁ δε καυχωμενος, εν Κυριω καυχασθω." 18 Ου γαρ ὁ ἑαυτον συνιστων,[6] εκεινος
εστιν δοκιμος, αλλ'[7] ὃν ὁ Κυριος συνιστησιν.

*[A godly jealousy]*

**11**.1 Οφελον[8] ανειχεσθε μου μικρον τη αφροσυνη·[9] αλλα και ανεχεσθε μου. 2 Ζηλω
γαρ ὑμας Θεου ζηλω,[10] ἡρμοσαμην γαρ ὑμας ἑνι ανδρι παρθενον ἁγνην παραστησαι τω
Χριστω. 3 Φοβουμαι δε μη πως, ὡς ὁ οφις Ευαν εξηπατησεν[11] εν τη πανουργια αυτου,
οὑτως φθαρη[12] τα νοηματα ὑμων απο της ἁπλοτητος[13] της εις τον Χριστον. 4 Ει μεν γαρ
ὁ ερχομενος αλλον Ιησουν κηρυσσει ὃν ουκ εκηρυξαμεν, ἢ πνευμα ἑτερον λαμβανετε ὃ ουκ
ελαβετε, ἢ ευαγγελιον ἑτερον ὃ ουκ εδεξασθε, καλως ηνειχεσθε.[14]

*[Paul ministered without charge]*

5 Λογιζομαι γαρ μηδεν ὑστερηκεναι των ὑπερλιαν αποστολων. 6 Ει δε και ιδιωτης
τω λογω, αλλ' ου τη γνωσει—αλλ' εν παντι φανερωθεντες[15] εν πασιν εις ὑμας. 7 Ἠ ἁμαρ-
τιαν εποιησα ἑαυτον[16] ταπεινων ἱνα ὑμεις ὑψωθητε, ὁτι δωρεαν το του θεου ευαγγελιον
ευηγγελισαμην ὑμιν? 8 Αλλας εκκλησιας εσυλησα, λαβων οψωνιον προς την ὑμων διακο-
νιαν, 9 και παρων προς ὑμας και ὑστερηθεις, ου κατεναρκησα ουδενος·[17] το γαρ ὑστερημα
μου προσανεπληρωσαν[18] οἱ αδελφοι, ελθοντες απο Μακεδονιας. Και εν παντι αβαρη ὑμιν
εμαυτον[19] ετηρησα, και τηρησω.

*[Exposing deceivers]*

10 Εστιν αληθεια Χριστου εν εμοι: ὁτι ἡ καυχησις αὑτη ου φραγησεται εις εμε εν
τοις κλιμασιν της Αχαιας. 11 Δια τί? Ὁτι ουκ αγαπω ὑμας? Ὁ Θεος οιδεν! 12 "Ὁ δε ποιω,
και ποιησω, ἱνα εκκοψω την αφορμην των θελοντων αφορμην, ἱνα εν ᾧ καυχωνται
εὑρεθωσιν καθως και ἡμεις. 13 Οἱ γαρ τοιουτοι ψευδαποστολοι, εργαται δολιοι,

---

[1] αλλα *rell* || αλλ [17%]
[2] συνιουσιν **f**$^{35}$ (92.3%) RP,HF,OC,TR,CP || συνιωσιν (1.8%) || συνιασιν P$^{46}$ (4.7%) NU || συνισασιν א (0.5%) || συνειασιν B || --- (0.5%)
[3] ουχι **f**$^{35}$ [85%] RP,HF,OC,TR,CP || ουκ P$^{46}$אB [15%] NU
[4] δε *rell* || --- [25%]
[5] υπερεκεινα *rell* || υπερεπεκεινα [5%] CP
[6] συνιστων **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP || συνιστανων P$^{46}$אB [5%] NU
[7] αλλ *rell* || αλλα P$^{46}$B,NU
[8] οφελον *rell* || ωφελον [25%]
[9] τη αφροσυνη **f**$^{35}$ [94%] RP,HF,OC,TR,CP || τι αφροσυνης P$^{46}$אB [2%] NU || τι 2 [3%] || three other variants [1%]
[10] θεου ζηλω **f**$^{35}$ אB [95%] RP,HF,OC,TR,NU || ~21 [5%] CP
[11] ευαν εξηπατησεν **f**$^{35}$ [94%] RP,HF,OC,TR,CP || ~21 (א)B [6%] NU
[12] ουτως φθαρη **f**$^{35pt}$ (62.8%) RP,CP || ουτω 2 **f**$^{35pt}$ (24.2%) HF,OC,TR || 1 φθαρει (8.9%) || ουτω φθαρει (2.2%) || 2 P$^{46}$אB (2%) NU (Note that the final *sigma* was by no means always dropped before a consonant.)
[13] απλοτητος **f**$^{35}$ (95%) RP,HF,OC,TR,CP || 1 και της αγνοτητος P$^{46}$אB (5%) [NU]
[14] ηνειχεσθε **f**$^{35}$ [53%] RP,TR || ανειχεσθε א [41%] HF,OC,CP || ανεχεσθε P$^{46}$B [1%] NU || ανειχεσθαι [4%] || five other variants [1%]
[15] φανερωθεντες **f**$^{35}$ (95.5%) RP,HF,OC,TR,CP || φανερωσαντες אB (3.9%) NU || two other variants (0.5%) || part of a longer omission P$^{46}$
[16] εαυτον **f**$^{35}$ [22%] CP || εμαυτον P$^{46}$אB,C [78%] RP,HF,OC,TR,NU
[17] ουδενος **f**$^{35}$ P$^{46}$ [97%] RP,HF,OC,TR,CP || ουθενος אB [3%] NU
[18] προσανεπληρωσαν *rell* || πρωσανεπληρωσαν CP
[19] υμιν εμαυτον **f**$^{35}$ [96%] RP,HF,OC,TR,CP || ~21 (P$^{46}$)אB [3%] NU || 2 [1%]

μετασχηματιζομενοι εις αποστολους Χριστου. 14 Και ου θαυμαστον,[1] αυτος γαρ ὁ Σατανας
μετασχηματιζεται εις αγγελον φωτος. 15 Ου μεγα ουν ει και οἱ διακονοι αυτου μετασχη-
ματιζονται ὡς διακονοι δικαιοσυνης, ὧν το τελος εσται κατα τα εργα αυτων.

[A little 'necessary' boasting]

16 Παλιν λεγω, μη τίς με δοξη αφρονα ειναι. Ει δε μη γε, καν ὡς αφρονα δεξασ-
θε με, ἱνα καγω μικρον τι[2] καυχησωμαι. 17 Ὃ λαλω, ου λαλω κατα Κυριον,[3] αλλ' ὡς εν
αφροσυνη, εν ταυτη τη ὑποστασει της καυχησεως. 18 Επει πολλοι καυχωνται κατα την[4]
σαρκα, καγω καυχησομαι 19 (ἡδεως γαρ ανεχεσθε των αφρονων, φρονιμοι οντες!). 20 Ανε-
χεσθε γαρ ει τις ὑμας καταδουλοι, ει τις κατεσθιει, ει τις λαμβανει, ει τις επαιρεται, ει
τις ὑμας εις προσωπον[5] δαιρει![6] 21 Κατα ατιμιαν λεγω, ὡς ὁτι ἡμεις ησθενησαμεν.[7]

Εν ᾧ δ' αν τις τολμα (εν αφροσυνη λεγω), τολμω καγω. 22 Ἑβραιοι εισιν? Καγω.
Ισραηλιται εισιν? Καγω. Σπερμα Ἀβρααμ[8] εισιν? Καγω. 23 Διακονοι Χριστου εισιν?
(παραφρονων λαλω) Ὑπερ εγω: εν κοποις περισσοτερως, εν πληγαις ὑπερβαλλοντως, εν
φυλακαις περισσοτερως,[9] εν θανατοις πολλακις 24—ὑπο Ιουδαιων πεντακις τεσσαρακοντα[10]
παρα μιαν ελαβον· 25 τρις ερραβδισθην·[11] ἁπαξ ελιθασθην· τρις εναυαγησα (νυχθημερον εν
τω βυθω πεποιηκα)—26 ὁδοιποριαις πολλακις, κινδυνοις ποταμων, κινδυνοις ληστων, κινδυ-
νοις εκ γενους, κινδυνοις εξ εθνων, κινδυνοις εν πολει, κινδυνοις εν ερημια, κινδυνοις εν
θαλασση, κινδυνοις εν ψευδαδελφοις· 27 εν[12] κοπω και μοχθω, εν αγρυπνιαις πολλακις, εν
λιμω και διψει, εν νηστειαις πολλακις, εν ψυχει και γυμνοτητι—28 χωρις των παρεκτος,
ἡ επισυστασις[13] μου[14] ἡ καθ' ἡμεραν,[15] ἡ μεριμνα πασων των εκκλησιων. 29 Τίς ασθενει,
και ουκ ασθενω? Τίς σκανδαλιζεται, και ουκ εγω πυρουμαι?

*[When I am weak, then I am strong]*

30 Ει καυχασθαι δει, τα της ασθενειας μου καυχησομαι. 31 Ὁ Θεος και Πατηρ του
Κυριου[16] Ιησου Χριστου[17] οιδεν, ὁ ων ευλογητος εις τους αιωνας, ὁτι ου ψευδομαι. 32 Εν
Δαμασκω ὁ εθναρχης Αρετα[18] του βασιλεως εφρουρει την Δαμασκηνων πολιν,[19] πιασαι με
θελων·[20] 33 και δια θυριδος εν σαργανη εχαλασθην δια του τειχους και εξεφυγον τας χειρας
αυτου.

[A visit to the third heaven]

---

[1] θαυμαστον **f**$^{35}$ [96%] RP,HF,OC,TR,CP || θαυμα P$^{46}$ℵB [4%] NU

[2] καγω μικρον τι **f**$^{35}$ P$^{46}$ℵB [90%] RP,HF,OC,CP,NU || ~231 [7%] TR || ~132 [3%]

[3] λαλω κατα κυριον **f**$^{35}$ [94%] RP,HF,OC,TR,CP || ~231 P$^{46}$ℵB [6%] NU

[4] την **f**$^{35}$ B [82%] RP,HF,OC,TR,CP || --- P$^{46}$ℵ [18%] NU

[5] υμας εις προσωπον **f**$^{35}$ [94%] RP,HF,OC,TR,CP || ~231 P$^{46}$ℵB,I [6%] NU

[6] δαιρει **f**$^{35}$ [40%] CP || δερει P$^{46}$(ℵ)B [60%] RP,HF,OC,TR,NU

[7] ησθενησαμεν **f**$^{35}$ [98%] RP,HF,OC,TR,CP || ησθενηκαμεν P$^{46}$ℵB [2%] NU

[8] ἁβρααμ **f**$^{35}$ [40%] || αβρααμ [60%] RP,HF,OC,TR,CP,NU

[9] εν πληγαις υπερβαλλοντως εν φυλακαις περισσοτερως **f**$^{35}$ (95.7%) RP,HF,OC,TR,CP || ~456123 P$^{46}$B (2.2%) NU || ~126453 ℵ (0.5%) || long omissions (1.5%) || one other variant

[10] τεσσαρακοντα **f**$^{35}$ [99%] RP,HF,OC,TR,CP || τεσσερακοντα P$^{46}$ℵB [1%] NU

[11] ερραβδισθην **f**$^{35}$ [45%] OC || εραβδισθην [55%] RP,HF,TR,CP,NU

[12] εν **f**$^{35}$ [98%] RP,HF,OC,TR,CP || --- P$^{46}$ℵB [2%] NU

[13] επισυστασις **f**$^{35}$ [87%] RP,HF,OC,TR,CP || επιστασις P$^{46}$ℵB [3%] NU || υποστασις [10%]

[14] μου **f**$^{35}$ [98%] RP,HF,OC,TR,CP || μοι P$^{46}$ℵB [2%] NU

[15] καθ' ἡμεραν *rell* || καθημέραν **f**$^{35}$ [20%] (I include this for the record, and so as not to lose sight of it, but since there is evidently no difference in meaning, I stay with the conventional pointing.)

[16] κυριου **f**$^{35}$ P$^{46v}$ℵB [60%] RP,HF,CP,NU || 1 ημων [40%] OC,TR

[17] χριστου **f**$^{35}$ [96%] RP,HF,OC,TR,CP || --- ℵB [4%] NU

[18] αρετα *rell* || ἁρετα NU

[19] δαμασκηνων πολιν **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP || ~21 ℵB [3%] NU

[20] θελων **f**$^{35}$ ℵ [99.5%] RP,HF,OC,TR,CP || --- B [0.5%] NU

**12**.1 Καυχασθαι δη[1] ου συμφερει μοι.[2] Ελευσομαι γαρ[3] εις οπτασιας και αποκαλυψεις
Κυριου. 2 Οιδα ανθρωπον εν Χριστω προ ετων δεκατεσσαρων—ειτε εν σωματι ουκ οιδα,
ειτε εκτος του σωματος ουκ οιδα, ὁ Θεος οιδεν—ἁρπαγεντα τον τοιουτον ἑως τριτου ουρα-
νου. 3 Και οιδα τον τοιουτον ανθρωπον—ειτε εν σωματι, ειτε εκτος[4] του σωματος ουκ
οιδα, ὁ Θεος οιδεν—4 ὁτι ἡρπαγη εις τον Παραδεισον και ηκουσεν αρρητα ῥηματα, ἃ ουκ
εξον ανθρωπω λαλησαι. 5 Ὑπερ του τοιουτου καυχησομαι, ὑπερ δε εμαυτου ου καυχησομαι,
ει μη εν ταις ασθενειαις μου.[5] 6 Εαν γαρ θελησω καυχησασθαι, ουκ εσομαι αφρων, αληθειαν
γαρ ερω· φειδομαι δε, μη τις εις εμε λογισηται ὑπερ ὃ βλεπει με ἢ ακουει τι[6] εξ εμου.

[The 'thorn in the flesh']

7 Και τη ὑπερβολη των αποκαλυψεων,[7] ἱνα μη ὑπεραιρωμαι,[8] εδοθη μοι σκολοψ τη
σαρκι, αγγελος Σαταν[9] ἱνα με κολαφιζη—ἱνα μη ὑπεραιρωμαι. 8 Ὑπερ τουτου τρις τον
Κυριον παρεκαλεσα ἱνα αποστη απ' εμου. 9 Και ειρηκεν μοι, "Αρκει σοι ἡ χαρις μου, ἡ
γαρ δυναμις μου[10] εν ασθενεια τελειουται."[11] Ἡδιστα ουν μαλλον καυχησομαι εν ταις ασθε-
νειαις μου, ἱνα επισκηνωση[12] επ' εμε ἡ δυναμις του Χριστου. 10 Διο, ευδοκω εν ασθενειαις,
εν ὑβρεσιν, εν αναγκαις, εν διωγμοις, εν[13] στενοχωριαις, ὑπερ Χριστου. Ὁταν γαρ ασθενω,
τοτε δυνατος ειμι.

*[Apostolic signs were produced]*

11 Γεγονα αφρων καυχωμενος·[14] ὑμεις με ηναγκασατε! Εγω γαρ ωφειλον ὑφ' ὑμων
συνιστασθαι, ουδεν γαρ ὑστερησα των ὑπερλιαν αποστολων, ει και ουδεν ειμι. 12 Τα μεν
σημεια του αποστολου κατειργασθη[15] εν ὑμιν εν παση ὑπομονη, εν σημειοις[16] και τερασιν
και δυναμεσιν. 13 Τί γαρ εστιν ὃ ἡττηθητε,[17] ὑπερ τας λοιπας εκκλησιας, ει μη ὁτι αυτος
εγω ου κατεναρκησα ὑμων? Χαρισασθε μοι την αδικιαν ταυτην.

[Still not burdening]

14 Ιδου, τριτον[18] ἑτοιμως εχω ελθειν προς ὑμας, και ου καταναρκησω[19] ὑμων.[20] Ου
γαρ ζητω τα ὑμων, αλλ'[21] ὑμας—ου γαρ οφειλει τα τεκνα τοις γονευσιν θησαυριζειν, αλλ'[22]
οἱ γονεις τοις τεκνοις. 15 Εγω δε ἡδιστα δαπανησω και εκδαπανηθησομαι ὑπερ των ψυχων
ὑμων, ει και[23] περισσοτερως ὑμας αγαπων,[24] ἡττον[25] αγαπωμαι. 16 Ἐστω δε, εγω ου

[1] δη **f**$^{35}$ [62%] RP,HF,OC,TR,CP || δει $P^{46}$B [37%] NU || δε ℵ [1%]
[2] συμφερει μοι **f**$^{35}$ (96.5%) RP,HF,OC,TR,CP || συμφερον μεν $P^{46}$ℵB (2.3%) NU || συμφερον 2 (0.5%) || three other variants (0.7%)
[3] γαρ **f**$^{35}$ [98%] RP,HF,OC,TR,CP || δε $P^{46}$ℵ [2%] NU || δε και B
[4] εκτος **f**$^{35}$ ℵ [99.5%] RP,HF,OC,TR,CP || χωρις $P^{46}$B [0.5%] NU
[5] μου **f**$^{35}$ ℵ [98.5%] RP,HF,OC,TR,CP || --- $P^{46}$B [1.5%] NU
[6] τι **f**$^{35}$ $P^{46}$ [98%] RP,HF,OC,TR,CP[NU] || --- ℵB,I [2%]
[7] αποκαλυψεων **f**$^{35}$ $P^{46}$ [98%] RP,HF,OC,TR,CP || 1 διο ℵA,B [2%] NU
[8] υπεραιρωμαι **f**$^{35}$ ℵ [50%] RP,HF,OC,TR,CP,NU || υπεραιρομεν $P^{46}$ [44%] || υπεραιρομαι [4%] || υπερερωμαι A,B [2%] || two other variants
[9] σαταν **f**$^{35}$ [98%] RP,HF,OC,TR,CP || σατανα $P^{46}$ℵA,B [2%] NU
[10] μου **f**$^{35}$ [98.5%] RP,HF,OC,TR,CP || --- $P^{46v}$ℵA,B [1.5%] NU
[11] τελειουται **f**$^{35}$ [98.5%] RP,HF,OC,TR,CP || τελειται ℵB [1%] NU || τελειτε A [0.5%]
[12] επισκηνωση *rell* || επισκηνωσει [18%] || two other variants
[13] εν **f**$^{35}$ A [98%] RP,HF,OC,TR,CP || και $P^{46}$ℵB [1.5%] NU || και 1 [0.5%]
[14] καυχωμενος **f**$^{35}$ (83.9%) RP,HF,OC,TR,CP || καυχομενος (5.7%) || --- $P^{46}$ℵA,B (10.4%) NU
[15] κατειργασθη *rell* || κατειργασται CP
[16] εν σημειοις **f**$^{35}$ (92%) RP,HF,OC,TR,CP || 2 τε $P^{46}$ℵ(B) (4.5%) NU || 2 A (2.3%) || και 12 (0.5%) || και 2 (0.5%) || one other variant
[17] ηττηθητε **f**$^{35}$ A [85%] RP,HF,OC,TR,CP || ητγηθητε [13%] || ησσωθητε $P^{46}$ℵB [1%] NU || four other variants [1%]
[18] τριτον **f**$^{35}$ [75%] RP,HF,OC,TR || 1 τουτου $P^{46}$ℵA,B [25%] CP,NU
[19] καταναρκησω *rell* || κατεναρκησα CP
[20] υμων **f**$^{35}$ [87%] RP,HF,OC,TR,CP || υμιν [7%] || υμας [3.5%] || --- $P^{46}$ℵA,B [2.5%] NU
[21] αλλ **f**$^{35}$ [45%] TR || αλλα $P^{46}$ℵA,B,C [55%] RP,HF,OC,CP,NU
[22] αλλ *rell* || αλλα $P^{46}$ℵA [3%] NU
[23] και **f**$^{35}$ [98%] RP,HF,OC,TR,CP || --- $P^{46}$ℵA,B [1.5%] NU || two other variants
[24] αγαπων **f**$^{35}$ $P^{46}$ B [95%] RP,HF,OC,TR,CP[NU] || αγαπω ℵA [5%]
[25] ηττον **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP || ησσον $P^{46}$ℵA,B [3%] NU

κατεβαρησα ὑμας, αλλ’[1] ὑπαρχων πανουργος, δολω ὑμας ελαβον.’ 17 Μη τινα ὧν απεσταλκα
προς ὑμας, δι’ αυτου επλεονεκτησα ὑμας? 18 Παρεκαλεσα Τιτον και συναπεστειλα τον αδελ-
φον—μητι επλεονεκτησεν ὑμας Τιτος? Ου τω αυτω πνευματι περιεπατησαμεν, ου τοις αυτοις
ιχνεσιν?

*[A little veiled threatening]*

19 Παλιν[2] δοκειτε ὁτι ὑμιν απολογουμεθα? Κατενωπιον του[3] Θεου, εν Χριστω,
λαλουμεν· τα δε παντα, αγαπητοι, ὑπερ της ὑμων οικοδομης. 20 Φοβουμαι γαρ μη πως ελθων
ουχ οἱους θελω εὑρω ὑμας, καγω εὑρεθω ὑμιν οἱον ου θελετε—μη πως ερις,[4] ζηλοι,[5] θυμοι,
εριθειαι, καταλαλιαι, ψιθυρισμοι, φυσιωσεις, ακαταστασιαι—21 μη παλιν ελθοντα με[6]
ταπεινωση[7] ὁ Θεος μου προς ὑμας, και πενθησω πολλους των προημαρτηκοτων και μη
μετανοησαντων επι τη ακαθαρσια και πορνεια και ασελγεια ᾗ επραξαν.

[I will not spare]

**13**.1 Τριτον[8] τουτο ερχομαι προς ὑμας. “Επι στοματος δυο μαρτυρων και τριων
σταθησεται παν ῥημα.” 2 Προειρηκα και προλεγω, ὡς παρων το δευτερον, και απων νυν
γραφω[9] τοις προημαρτηκοσιν και τοις λοιποις πασιν: ὁτι εαν ελθω εις το παλιν, ου
φεισομαι, 3 επει δοκιμην ζητειτε του εν εμοι λαλουντος Χριστου—ὃς εις ὑμας ουκ ασθενει,
αλλα δυνατει[10] εν ὑμιν 4 (και γαρ ει[11] εσταυρωθη εξ ασθενειας, αλλα ζη εκ δυναμεως Θεου).
Και γαρ ἡμεις ασθενουμεν εν αυτω, αλλα ζησομεθα[12] συν αυτω εκ δυναμεως Θεου εις ὑμας.

[Examine yourselves]

5 Ἑαυτους πειραζετε ει εστε εν τη πιστει· ἑαυτους δοκιμαζετε. Ἠ ουκ επιγινωσ-
κετε ἑαυτους ὁτι Ιησους Χριστος εν ὑμιν εστιν?[13]—ει μητι[14] αδοκιμοι εστε. 6 Ελπιζω δε
ὁτι γνωσεσθε ὁτι ἡμεις ουκ εσμεν αδοκιμοι.
7 Ευχομαι[15] δε προς τον Θεον μη ποιησαι ὑμας κακον μηδεν·[16] ουχ ἱνα ἡμεις δοκιμοι
φανωμεν, αλλ’ ἱνα ὑμεις το καλον ποιητε[17] (ἡμεις δε ὡς αδοκιμοι ωμεν). 8 Ου γαρ δυναμεθα
τι κατα της αληθειας, αλλ’[18] ὑπερ της αληθειας. 9 Χαιρομεν γαρ[19] ὁταν ἡμεις ασθενωμεν,
ὑμεις δε δυνατοι ητε. Τουτο δε[20] και ευχομεθα, την ὑμων καταρτισιν.[21] 10 Δια τουτο ταυτα
απων γραφω, ἱνα παρων μη αποτομως χρησωμαι,[22] κατα την εξουσιαν ἣν εδωκεν μοι ὁ
Κυριος,[23] εις οικοδομην και ουκ εις καθαιρεσιν.

[Conclusion]

---

[1] αλλ *rell* || αλλα $P^{46}$ℵA,B [10%] NU
[2] παλιν **f**$^{35}$ (96%) RP,HF,OC,TR,CP || παλαι ℵ(A)B (3.8%) NU || ου παλαι $P^{46}$ (alone)
[3] κατενωπιον του **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP || κατεναντι $P^{46}$ℵA,B [3%] NU
[4] ερις **f**$^{35}$ $P^{46}$ℵA [45%] CP,NU || ερεις B [55%] RP,HF,OC,TR
[5] ζηλοι **f**$^{35}$ ℵ [98%] RP,HF,OC,TR,CP || ζηλος $P^{46}$A,B [2%] NU
[6] ελθοντα με **f**$^{35}$ (97.8%) RP,HF,OC,TR,CP || ελθοντος μου $P^{46}$ℵA,B (2.2%) NU
[7] ταπεινωση **f**$^{35}$ (46.5%) OC,TR || ταπεινωσει (49.2%) RP,HF,CP || 1 με ℵA (0.5%) || ταπεινωσει με $P^{46}$B (3.8%) NU
[8] τριτον **f**$^{35}$ $P^{46}$ℵB [85%] RP,HF,OC,TR,NU || ιδου 1 A [15%] CP
[9] γραφω **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP || --- $P^{46}$ℵA,B,I [3%] NU
[10] δυνατει *rell* || δυναται [1%] CP || αδυνατει [5%] || δυνατοι [2%] || two other variants
[11] ει **f**$^{35}$ A [92%] RP,HF,OC,TR,CP || --- ℵB [8%] NU
[12] ζησομεθα **f**$^{35}$ [92%] RP,HF,OC,TR,CP || ζησομεν ℵA,B [4%] NU || ζησωμεν [2%] || ζησωμεθα [2%] || ζων $P^{46}$
[13] εστιν **f**$^{35}$ ℵA [99%] RP,HF,OC,TR,CP || --- $P^{46}$B [1%] NU
[14] μητι **f**$^{35}$ $P^{46}$ℵA,B [95%] RP,HF,OC,TR,NU || 1 αρα [5%] CP
[15] ευχομαι **f**$^{35}$ [91%] RP,HF,OC,TR,CP || ευχωμεθα $P^{46}$ℵA,B [9%] NU
[16] κακον μηδεν *rell* || ~ 21 [18%]
[17] ποιητε *rell* || ποιειτε ℵ [11%] || ποιειται [2%] || ποιηται [1%]
[18] αλλ *rell* || αλλα $P^{46}$ℵ [1%] NU || omit clause [8%]
[19] γαρ *rell* || --- [15%]
[20] δε **f**$^{35}$ [94%] RP,HF,OC,TR,CP || --- $P^{46}$ℵA,B [6%] NU
[21] καταρτισιν *rell* || καταρτησιν [30%] CP
[22] χρησωμαι *rell* || χρησομαι [15%]
[23] εδωκεν μοι ο κυριος **f**$^{35}$ [94%] RP,HF,OC,TR,CP || ~ 3412 $P^{46}$ℵA,B [6%] NU

**13**.11 Λοιπον, αδελφοι, χαιρετε· καταρτιζεσθε· παρακαλεισθε· το αυτο φρονειτε· ειρη-
νευετε· και ὁ Θεος της αγαπης και της[1] ειρηνης εσται μεθ' ὑμων.
12 Ασπασασθε αλληλους εν ἁγιω φιληματι.[2]
13 Ασπαζονται ὑμας οἱ ἁγιοι παντες.
14 Ἡ χαρις του Κυριου ημων[3] Ιησου Χριστου, και ἡ αγαπη του Θεου, και ἡ κοινωνια του
Ἁγιου Πνευματος μετα παντων ὑμων.
Αμην.[4,5]

---

[1] της $\mathbf{f}^{35}$ [30%] CP || --- $P^{46}$ℵA,B [70%] RP,HF,OC,TR,NU

[2] αγιω φιληματι $\mathbf{f}^{35}$ ℵB [80%] RP,HF,OC,TR,NU || ~ 21 $P^{46}$A [20%] CP

[3] ημων $\mathbf{f}^{35}$ [40%] || --- $P^{46}$ℵA,B [60%] RP,HF,OC,TR,CP,NU

[4] αμην $\mathbf{f}^{35}$ [92%] RP,HF,OC,TR,CP || --- $P^{46}$ℵA,B [8%] NU

[5] The citation of $\mathbf{f}^{35}$ is based on twenty-seven MSS—18, 35, 141, 201, 204, 386, 444, 824, 928, 986, 1072, 1075, 1249, 1548, 1637, 1725, 1740, 1855, 1864, 1865, 1892, 1897, 2352, 2466, 2554, 2587 and 2723—all of which I collated myself. 2554 is a 'perfect' representative of $\mathbf{f}^{35}$ in 2 Corinthians, as it stands, as were the exemplars of 1865 and 2723. For a book this size the uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Aegean, Patmos, Constantinople, Bucharest, Trikala, Meteora, Mt. Athos [seven different monasteries], Grottaferrata, Rome, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant within either ( ) or [ ]. I have used ( ) for the evidence taken from TuT, which I take to be reasonably precise. For the variant sets that are not covered there I used Reuben Swanson's excellent collations (*New Testament Greek Manuscripts: 2 Corinthians* [Ed. Reuben Swanson, Carol Stream, IL: Tyndale House Publishers, 2005]). For 2 Corinthians Swanson collated 83 MSS, five being fragmentary (for any given variant set there will usually be at least 75 MSS listed), and I occasionally supplemented from Scrivener and von Soden—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ± 1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ± 2%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ± 10%—by comparing Swanson with TuT, I believe one can make a fairly accurate extrapolation. However, I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.